21 ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν,
καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν.
22 γένοιτο τὸ ἔλεός σου, κύριε, ἐφ' ἡμᾶς,
καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

33 ΛΓ'

1 Τῷ Δαυιδ, ὁπότε ἠλλοίωσεν τὸ πρόσωπον
αὐτοῦ ἐναντίον Αβιμελεχ, καὶ ἀπέλυσεν
αὐτόν, καὶ ἀπῆλθεν.
2 Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ,
διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.
3 ἐν τῷ κυρίῳ ἐπαινεσθήσεται ἡ ψυχή μου·
ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.
4 μεγαλύνατε τὸν κύριον σὺν ἐμοί,
καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.
5 ἐξεζήτησα τὸν κύριον, καὶ ἐπήκουσέν μου
καὶ ἐκ πασῶν τῶν παροικιῶν μου ἐρρύσατό με.
6 προσέλθατε πρὸς αὐτὸν καὶ φωτίσθητε,
καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.
7 οὗτος ὁ πτωχὸς ἐκέκραξεν, καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ
καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.
8 παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν
καὶ ῥύσεται αὐτούς.
9 γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ κύριος·
μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ' αὐτόν.
10 φοβήθητε τὸν κύριον, οἱ ἅγιοι αὐτοῦ,
ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.
11 πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν,
οἱ δὲ ἐκζητοῦντες τὸν κύριον οὐκ ἐλαττωθήσονται παντὸς
ἀγαθοῦ.
διάψαλμα.
12 δεῦτε, τέκνα, ἀκούσατέ μου·
φόβον κυρίου διδάξω ὑμᾶς.
13 τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν
ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;
14 παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ
καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.
15 ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν,
ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.

22¹ το ελ. σου / κυριε] tr. A | 22² σε] σοι A
33 (𝔐 34) 5² παροικιων] θλιψεων A || 7¹ αυτων S† || 10¹ οι] pr. παντες BA || 13² ημερας ιδειν] tr. B || 14² σου > BS†